© www.astrothesaurus.gr

## *Περὶ κλήρου καὶ δωδεκατημορίων αὐτῶν*

*Λοιπὸν λείπεται ἡμῖν καὶ περὶ τῶν δωδεκατημορίων τῶν κλήρων διαλεχθῆναι. ἀλλ' οὐ δυνάμεθα, πρὶν μάθωμεν ὅλως, τί ἐστι κλῆρος ἢ πῶς ἐκβάλλεται κλῆρος, ποίᾳ μεθόδῳ.*

*Καὶ ἰστέον, ὅτι περὶ τούτων τῶν κλήρων γέγραπται Ἑρμῇ τῷ Τρισμεγίστῳ ἐν βίβλῳ λεγομένῃ Παναρέτῳ, ἔνθα καὶ τὰ ἀποτελέσματα τούτων παραδίδωσι, δι' ὧν καὶ μόνων ἂν δύναιτό τις ἀποτελεῖν ἐπὶ ἑκάστου πράγματος χωρὶς ἑτέρου τινός.*

*Οὗτος δὲ ὁ θεῖος ἀνὴρ ζ´ ἔλεγεν εἶναι κλήρους πρὸς τὸν ἀριθμὸν τῶν ζ´ ἀστέρων. ἔλεγε γὰρ τὸν κλῆρον τοῦ Ἡλίου Ἀγαθὸν Δαίμονα, τὸν δὲ κλῆρον τῆς Σελήνης Ἀγαθὴν Τύχην, τὸν δὲ κλῆρον τοῦ Διὸς Νίκην, τὸν δὲ τοῦ Ἑρμοῦ Ἀνάγκην, τὸν δὲ τῆς Ἀφροδίτης Ἔρωτα, τὸν δὲ τοῦ Ἄρεως Τόλμαν, τὸν δὲ τοῦ Κρόνου Νέμεσιν. οὐ μάτην δὲ οὕτως ταῦτα ἐθέσπισεν· ἀλλ' ἐπειδὴ οἵα τις τύχη τοῦ παντός ἐστιν ἡ Σελήνη, τούτου χάριν τὸν κλῆρον αὐτῆς Ἀγαθὴν Τύχην ἐκάλεσε· καὶ ἐπειδὴ ὁ Ἥλιος ἔφορός ἐστι τοῦ παντός, τούτου χάριν τὸν κλῆρον αὐτοῦ Ἀγαθὸν Δαίμονα ἐκάλεσεν· ἐπειδὴ πάλιν ὁ Ζεὺς νίκης καὶ δόξης ἐστὶ κύριος, Νίκην ἐκάλεσε ὁ Τρισμέγιστος τὸν κλῆρον αὐτοῦ· ἀλλὰ μὴν ἐπειδὴ καὶ ὁ Ἑρμῆς κύριός ἐστι λόγου, ὁ δὲ λόγος ἀναγκαστικὸς ὑπάρχει, τούτου χάριν Ἀνάγκην ἐκάλεσε τὸν κλῆρον αὐτοῦ· ὡσαύτως καὶ τῶν λοιπῶν τοὺς κλήρους κατὰ τὴν ἰδιοτροπίαν τῶν ἀστέρων ἐκάλεσεν· καὶ ταῦτα μὲν περὶ τούτου.*

*Ἀλλ' ἐπειδὴ πολὺς ὁ περὶ τῆς εὑρέσεως τῶν κλήρων λόγος, ταύτην τὴν μέθοδον ἑτέρᾳ θεωρίᾳ παραχωρήσομεν.*

© www.astrothesaurus.gr

*Νῦν δὲ ὡς ἤδη εὑρημένου τοῦ κλήρου ἑκάστου τῶν θεῶν ἐκβάλλωμεν αὐτοῦ τὰ δωδεκατημόρια. καὶ ἰστέον ὅτι πάλιν τῷ αὐτῷ κανόνι κεχρήμεθα, ᾧπερ καὶ ἐπὶ τῶν δωδεκατημορίων ἐχρησάμεθα τῶν κέντρων καὶ τῶν ἄλλων ἀστέρων. δεῖ γὰρ σκοπεῖν ἐν ποίῳ [ζῳδίῳ] καὶ πόστῃ μοίρᾳ ἐστὶ ὁ τοῦ Ἀγαθοῦ Δαίμονος κλῆρος, εἰ τύχει, ἢ ὁ τῆς Ἀγαθῆς Τύχης ἢ ἄλλος οἱοσδήποτε, καὶ τὸν εὑρεθέντα ἀριθμὸν τῶν μοιρῶν, ὧν ἐπέχει ἐν τῷ ζῳδίῳ, πολυπλασιάζειν ἐπὶ τὸν ιγ´ καὶ τὸν γενόμενον ἀριθμὸν τῶν μοιρῶν ἀποδιδόναι τοῖς ζῳδίοις ἀπὸ λ´, ἀρξαμένου ἀπὸ τοῦ ζῳδίου, ἔνθα ἦν ὁ κλῆρος, μέχρις οὗ καταλήξει εἰς ἕτερον ζῴδιον. καὶ δεῖ σκοπεῖν, ἐν ποίῳ ζῳδίῳ καταλήγει ὁ ἀριθμός, καὶ λέγε ἐκεῖσε εἶναι τὸ δωδεκατημόριον τοῦ κλήρου. ταῦτα παραδίδωσι ἡ μετὰ χεῖρα λέξις.*

«Τὸ δὲ τῶν ἀστέρων δωδεκατημόριον»

*Ζητῆσαι ἄξιον, τί δήποτε δωδεκατημόριον λέγεται ἡ ἐποχὴ ἑκάστου ἀστέρος καὶ ὁ παρὰ τὸν ιγ´ πολυπλασιασμός· καὶ λέγομεν· δωδεκατημόριον αὐτὸ ἐκάλουν οἱ παλαιοὶ τῶν Αἰγυπτίων, ἐπειδὴ τὸν εὑρισκόμενον ἀριθμὸν ἐν τῇ ἐποχῇ ἑκάστου ἀστέρος παρὰ τὸν ιβ´ ἐπολυπλασίαζον. ὁ μέντοι Παῦλος ὕστερος γεγονὼς καὶ καταμαθών, ὅτι ὁ παρὰ τὸν ιβ´ πολυπλασιασμὸς οὐδέποτε ἀποκαθίσταται εἰς τὸ αὐτὸ ζῴδιον, ἔνθα ἐστὶν ὁ ἀστήρ, οὗ ζητοῦμεν τὸ δωδεκατημόριον, – συμβαίνει δὲ πολλάκις ἐν τῷ αὐτῷ ζῳδίῳ πίπτειν τὸ δωδεκατημόριον τοῦ ἀστέρος, ἔνθα ἐστὶν αὐτὸς ὁ ἀστήρ. τούτου χάριν ἐπολλαπλασίασεν ἐπὶ τὸν ιγ´ [ἢ] ἵνα καὶ ἐν τῷ αὐτῷ ζῳδίῳ φθάσῃ τὸ δωδεκατημόριον, ἔνθα ἐστὶν ὁ ἀστήρ. καὶ γὰρ ἐν τῷ ζῳδίῳ εἰ συμβῇ γενέσθαι τὴν ἐποχὴν τοῦ ἀστέρος καὶ τὸ δωδεκατημόριον αὐτοῦ, μέγιστα ἀγαθὰ γενήσεται ἐκ τούτου. ὅτι δὲ ὁ παρὰ τὸν ιβ´ πολλαπλασιασμὸς οὐκ*

© www.astrothesaurus.gr

*ἀνακυκλοῦται εἰς τὸ αὐτὸ ζῴδιον ἀλλὰ μόνον μέχρις αὐτοῦ φθάνει, δῆλον. εἰ γὰρ ὑποθώμεθα λ μοίρας ἐπέχειν τὸν ἀστέρα ἐν τῷ ζῳδίῳ, πολλαπλασιάσω δὲ τὸν λ ἐπὶ τὸν ιβ´, τριακοντάκις ιβ´ γίνεται τξ ὁ ἀριθμός, ταὐτὸν δὲ εἰπεῖν μέχρις ιβ ζῴδια, καὶ οὐχ ἐφάπτει τοῦ ιγ´ ζῳδίου, ἔνθα ἐστὶν αὐτὸς ὁ ἀστήρ. εἰ μέντοι πολλαπλασιάσω τὰς λ μοίρας παρὰ τὸν ιγ´, τριακοντάκις ιγ´ <γίνεται> τϟ´, συμπεριλαμβάνεται καὶ τὸ ζῴδιον τὸ ιγ´, ἐν ᾧ ἐστιν ὁ ἀστήρ, καὶ ἀποδίδοται αὐτῷ τὸ δωδεκατημόριον. τούτου χάριν ἤλλαξεν [ὁ Παῦλος] τὸν ιβ´ ἀριθμὸν εἰς τὸν ιγ´. ἀλλ᾽ ἐπειδὴ ἐκ τοῦ ιβ´ ἀριθμοῦ ἐλέγετο δωδεκατημόριον ἡ ἐποχὴ καὶ ὁ πολλαπλασιασμός, τούτου χάριν παρέμεινεν αὐτὸ [τὸ] ὄνομα τοῦ δωδεκατημορίου καὶ μετὰ τὸ ἀμειφθῆναι εἰς τὸν ιγ´.*

«Διὰ γὰρ τῆσδε τῆς θεωρίας τοὺς εὐτυχεῖς καὶ πολυχρονίους καὶ εὐδαίμονας ἄνδρας ἐπισημαίνεσθαι δεήσει».

*Τί φησί; ὅτι ἐὰν τὰ δωδεκατημόρια τῶν ἀγαθοποιῶν ἀστέρων ἢ ἐν κέντροις εὑρεθῶσιν ἢ ἐν κλήροις Τύχης ἢ Δαίμονος ἢ Ἀνάγκης ἢ [ἐν τῷ τόπῳ] τῆς προσεχοῦς [πρὸ τῆς γενέσεως] γενομένης συνόδου ἢ πανσελήνου ἢ ἔνθα ἐστὶν ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ ὁ Ἑρμῆς, τηνικαῦτα εὐτυχὴς ἔσται ἡ γένεσις καὶ ἐπίδοξος καὶ πολυχρόνιον τὸ γεννώμενον· εἰ δὲ ἐν τούτοις τοῖς τόποις ἐμπέσῃ δωδεκατημόριον ἑνὸς κακοποιοῦ ἀστέρος, τηνικαῦτα τὰ ἐναντία συμβήσεται· πένητας γὰρ καὶ δυσδαίμονας καὶ δυσπερικτήτους καὶ ὀλιγοχρονίους, ἐνίοτε δὲ καὶ βιοθανάτους ἀποτελεῖ. καθόλου οὖν βουλόμεθα τοὺς μὲν ἀγαθοποιοὺς ἤτοι τὰ αὐτῶν δωδεκατημόρια ἐν κέντροις πίπτειν, ἢ ἔνθα ἀγαθός ἐστιν ὁ ἀστήρ, ἢ ἄλλως εἰς ἐπισήμους τόπους, τοὺς δὲ κακοποιοὺς ἐν ἀσήμοις τόποις καὶ ἐν ἀποκλίμασι καὶ τοῖς τοιούτοις.*